# 176. THE AGONY IN GETHSEMANE (Matt-Lk Identicals)

| Matt 26:36-46 | Luke 22:39-46 |
|---|---|
| *Τότε ἔρχεται μετ  αὐτῶν ὁ Ἰησοῦς* | *Καὶ ἐξελθὼν ἐπορεύθη* |
| *εἰς χωρίον λεγόμενον Γεθσημανί,* | *κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος* |
| | *τῶν Ἐλαιῶν·* |
| | *ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί.* |
| | *40  γενόμενος δὲ ἐπὶ τοῦ τόπου* |
| *καὶ λέγει τοῖς μαθηταῖς,* | *εἶπεν αὐτοῖς,* |
| *Καθίσατε αὐτοῦ* | |
| *ἕως οὗ ἀπελθὼν ἐκεῖ* | |
| *προσεύξωμαι.* | *Προσεύχεσθε μὴ εἰσελθεῖν* |
| | *εἰς πειρασμόν.* |
| *37  καὶ παραλαβὼν* | |
| *τὸν Πέτρον* | |
| *καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου* | |
| *ἤρξατο λυπεῖσθαι* | |
| *καὶ ἀδημονεῖν.* | |
| *38  τότε λέγει αὐτοῖς,* | |
| *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου·* | |
| *μείνατε ὧδε καὶ γρηγορεῖτε* | |
| *μετ  ἐμοῦ.* | |
| *39 καὶ προελθὼν* | *41  καὶ αὐτὸς ἀπεσπάσθη* |
| *μικρὸν* | *ἀπ  αὐτῶν ὡσεὶ λίθου βολήν,* |
| *ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ* | *καὶ θεὶς τὰ γόνατα* |
| *προσευχόμενος* | *προσηύχετο* |
| *καὶ λέγων, Πάτερ μου,* | *42  λέγων, Πάτερ,* |
| *εἰ δυνατόν ἐστιν,* | *εἰ βούλει* |
| *παρελθάτω* | *παρένεγκε* |
| *ἀπ  ἐμοῦ τὸ ποτήριον τοῦτο·* | *τοῦτο τὸ ποτήριον ἀπ  ἐμοῦ·* |
| *πλὴν οὐχ ὡς ἐγὼ θέλω* | *πλὴν μὴ τὸ θέλημά μου* |
| *ἀλλ  ὡς σύ.* | *ἀλλὰ τὸ σὸν γινέσθω.* |
| | *43  ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ  οὐρανοῦ ἐνισχύων αὐτόν. 44  καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· καὶ ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.* |

| | |
|---|---|
| | *45 καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς* |
| *·40 καὶ ἔρχεται* | *ἐλθὼν* |
| *πρὸς τοὺς μαθητὰς* | *πρὸς τοὺς μαθητὰς* |
| *καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,* | *εὗρεν κοιμωμένους αὐτοὺς* |
| | *ἀπὸ τῆς λύπης,* |
| *καὶ λέγει τῷ Πέτρῳ,* | *46 καὶ εἶπεν αὐτοῖς,* |
| | *Τί καθεύδετε* |
| *Οὕτως οὐκ ἰσχύσατε* | |
| *μίαν ὥραν γρηγορῆσαι* | |
| *μετ ἐμοῦ* | |
| *41 γρηγορεῖτε καὶ προσεύχεσθε,* | *ἀναστάντες προσεύχεσθε,* |
| *ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν·* | *ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.* |
| *τὸ μὲν πνεῦμα πρόθυμον* | |
| *ἡ δὲ σὰρξ ἀσθενής.* | |
| *42 πάλιν ἐκ δευτέρου ἀπελθὼν* | |
| *προσηύξατο* | |
| *λέγων, Πάτερ μου, εἰ οὐ* | |
| *δύναται τοῦτο παρελθεῖν* | |
| *ἐὰν μὴ αὐτὸ πίω,* | |
| *γενηθήτω τὸ θέλημά σου.* | |
| *43 καὶ ἐλθὼν πάλιν* | |
| *εὗρεν αὐτοὺς καθεύδοντας,* | |
| *ἦσαν γὰρ αὐτῶν* | |
| *οἱ ὀφθαλμοὶ βεβαρημένοι.* | |
| *44 καὶ ἀφεὶς αὐτοὺς πάλιν* | |
| *ἀπελθὼν προσηύξατο ἐκ τρίτου* | |
| *τὸν αὐτὸν λόγον εἰπὼν πάλιν.* | |
| *45 τότε ἔρχεται* | |
| *πρὸς τοὺς μαθητὰς* | |
| *καὶ λέγει αὐτοῖς,* | |
| *Καθεύδετε τὸ λοιπὸν* | |
| *καὶ ἀναπαύεσθε* | |
| *ἰδοὺ ἤγγικεν ἡ ὥρα* | |
| *καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου* | |
| *παραδίδοται* | |
| *εἰς χεῖρας* | |
| *ἁμαρτωλῶν.* | |
| *46 ἐγείρεσθε, ἄγωμεν·* | |

*ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με.*

301 total words with 42 identicals = 14%